eul_wid: iha-aa

Ἑρμησιάναξ ὁ Κολοφωνεύς · Hermesianax of Colophon

# Testimonies

## Μαρτυρίαι

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Ἰωνικὴ Ἐλεγειακή Ionic Elegiac
**Domain:** Ποίησις Poetry
**Format:** Συναγωγή Collection

3c,691,T 1 SCHOL. NIKAND. Ther. 3: φίλ' Ἑρμησιάναξ, πολέων κυδίστατε παῶν] ὁ Ἑρμησιάναξ οὗτος φίλος τῶι Φιλητᾶι καὶ γνώριμος ἦν· τούτωι δὲ τὰ Περσικὰ γέγραπται καὶ τὰ εἰς Λεόντιον τὴν ἐρωμένην. οὐ δύναται δὲ Νίκανδρος μνημονεύειν τούτου διὰ τῆς προσφωνήσεως διὰ τὸ τὸν Φιλητᾶν πρεσβύτερον εἶναι Νικάνδρου· καὶ αὐτὸς δὲ ὁ Νίκανδρος μέμνηται τοῦ Ἑρμησιάνακτος ὡς πρεσβυτέρου ἐν τῶι Περὶ τῶν ἐκ Κολοφῶνος ποιητῶν (271/2 F 10). ἔστιν οὖν οὗτος ἑταῖρος Νικάνδρου, ὁμώνυμος τῶι πρώτωι. δῆλον δὲ ὅτι συγγενὴς αὐτοῦ ἦν.

3c,691,T 2 AGATHARCHID. De m. R. 21 (PHOT. Bibl. 250 p. 446 b 33): διὸ καὶ ψυχρότητα ἐσχάτην ἐμφαίνει (Hegesias 142 T 3), ὥσπερ καὶ Ἑρμησιάναξ ὁ τὴν Ἀθηνᾶν ἐγκωμιάσας οὕτως· «ἐκ γὰρ τῆς τοῦ Διὸς γεγενημένη κεφαλῆς εἰκότως ἔχει τῆς εὐδαιμονίας τὸ κεφάλαιον». τοιοῦτον καὶ τὸ «τίς δ' ἂν δύναιτο ποιῆσαι τὴν Κύρου δόσιν ἄκυρον;» καὶ τόδε δὲ ὅμοιον· «τόπος δὲ πῶς γένοιτ' ἄβατος, βάτου περικειμένου;»